Euripide, *Ifigenia in Aulide*

Ἰφιγένεια

εἰ μὲν τὸν Ὀρφέως εἶχον, ὦ πάτερ, λόγον,
πείθειν ἐπᾴδουσ᾽, ὥσθ᾽ ὁμαρτεῖν μοι πέτρας,
κηλεῖν τε τοῖς λόγοισιν οὓς ἐβουλόμην,
ἐνταῦθ᾽ ἂν ἦλθον: νῦν δέ, τἀπ᾽ ἐμοῦ σοφά,
δάκρυα παρέξω: ταῦτα γὰρ δυναίμεθ᾽ ἄν.
ἱκετηρίαν δὲ γόνασιν ἐξάπτω σέθεν
τὸ σῶμα τοὐμόν, ὅπερ ἔτικτεν ἥδε σοι,
μή μ᾽ ἀπολέσῃς ἄωρον: ἡδὺ γὰρ τὸ φῶς
βλέπειν: τὰ δ᾽ ὑπὸ γῆς μή μ᾽ ἰδεῖν ἀναγκάσῃς.
πρώτη σ᾽ ἐκάλεσα πατέρα καὶ σὺ παῖδ᾽ ἐμέ:
πρώτη δὲ γόνασι σοῖσι σῶμα δοῦσ᾽ ἐμὸν
φίλας χάριτας ἔδωκα κἀντεδεξάμην.
λόγος δ᾽ ὁ μὲν σὸς ἦν ὅδ᾽: Ἆρά σ᾽, ὦ τέκνον,
εὐδαίμον᾽ ἀνδρὸς ἐν δόμοισιν ὄψομαι,
ζῶσάν τε καὶ θάλλουσαν ἀξίως ἐμοῦ;
οὑμὸς δ᾽ ὅδ᾽ ἦν αὖ περὶ σὸν ἐξαρτωμένης
γένειον, οὗ νῦν ἀντιλάζυμαι[1] χερί:
Τί δ᾽ ἆρ᾽ ἐγὼ σέ; πρέσβυν ἆρ᾽ ἐσδέξομαι[2]
ἐμῶν φίλαισιν ὑποδοχαῖς δόμων, πάτερ,
πόνων τιθηνοὺς ἀποδιδοῦσά σοι τροφάς;
τούτων ἐγὼ μὲν τῶν λόγων μνήμην ἔχω,
σὺ δ᾽ ἐπιλέλησαι, καί μ᾽ ἀποκτεῖναι θέλεις.
μή, πρός σε Πέλοπος καὶ πρὸς Ἀτρέως πατρὸς
καὶ τῆσδε μητρός, ἣ πρὶν ὠδίνουσ᾽ ἐμὲ
νῦν δευτέραν ὠδῖνα τήνδε λαμβάνει.
τί μοι μέτεστι τῶν Ἀλεξάνδρου γάμων
Ἑλένης τε; πόθεν ἦλθ᾽ ἐπ᾽ ὀλέθρῳ τὠμῷ, πάτερ;
βλέψον πρὸς ἡμᾶς, ὄμμα δὸς φίλημά τε,
ἵν᾽ ἀλλὰ τοῦτο κατθανοῦσ᾽ ἔχω σέθεν
μνημεῖον, ἢν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις.
ἀδελφέ, μικρὸς μὲν σύ γ᾽ ἐπίκουρος φίλοις,
ὅμως δὲ συνδάκρυσον, ἱκέτευσον πατρὸς
τὴν σὴν ἀδελφὴν μὴ θανεῖν: αἴσθημά τοι
κἀν νηπίοις γε τῶν κακῶν ἐγγίγνεται.
ἰδοὺ σιωπῶν λίσσεταί σ᾽ ὅδ᾽, ὦ πάτερ.
ἀλλ᾽ αἴδεσαί με καὶ κατοίκτιρον βίου.
ναί, πρὸς γενείου σ᾽ ἀντόμεσθα δύο φίλω:
ὃ μὲν νεοσσός ἐστιν, ἣ δ᾽ ηὐξημένη.
ἓν συντεμοῦσα πάντα νικήσω λόγον:
τὸ φῶς τόδ᾽ ἀνθρώποισιν ἥδιστον βλέπειν,
τὰ νέρθε δ᾽ οὐδέν: μαίνεται δ᾽ ὃς εὔχεται
θανεῖν. κακῶς ζῆν κρεῖσσον ἢ καλῶς θανεῖν.

[1] ἀντιλάζυμαι = ἀντιλάζομαι
[2] ἐσδέξομαι = εἰσδέξομαι

1. Tradurre il passo

2. Commentare il passo. Si suggerisce di toccare i seguenti punti:
- scelte linguistiche e stilistiche dell'autore
- fisionomia del personaggio
- rapporto del brano con il mito
- rapporto con la poetica dell'autore
- rapporto con altre opere di Euripide e di autori greci e latini.